# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου*

*Εὐλογήσαντος τοῦ Ἱερέως, τό* Κύριε εἰσάκουσον, *μέθ' ὅ τό* Θεός Κύριος *ὡς συνήθως καί τό ἑξῆς:*

*Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.*

Ὡς τοῦ φωτός τοῦ Τρισηλίου ἐπόπτης, καί μυστικῆς θεολογίας ἐκφάντωρ, ἡγιασμένε Συμεών Πατήρ ἡμῶν, αἴτει ταῖς ψυχαῖς ἡμῶν, φωτισμόν οὐρανόθεν, καί παθῶν ἐκδίωξον, ἀφ' ἡμῶν τήν ὁμίχλην· ὡς γάρ θεράπων μέγας τοῦ Χριστοῦ, πᾶσι παρέχεις, τά κρείττονα Ὅσιε.

*Δόξα, τό ἀπολυτίκιον,* Θείαν ἔλλαμψιν...

*Καί νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν' Ψαλμός καί*
*ὁ κανών οὗ ἡ ἀκροστιχίς·*
*«Θεῖον ἡμῖν φῶς δός Θεολόγε,*
*Γερασίμου».*
*Ὠδή α'. Ἦχος πλ. δ'.*
*Ὑγράν διοδεύσας.*

Θεόθεν ὡς ἔλαβες δαψιλῶς, Συμεών θεόφρον, φῶς τό θεῖον ἐν τῇ ψυχῇ, δίωξον τό σκότος τοῦ νοός μου, καί πρός φωτός με τά ἔργα διέγειρον.

Ἐφλέχθης ἀγάπης τῆς τοῦ Χριστοῦ, πυρί ζωηφόρῳ, θεοδόξαστε Συμεών· διό τῷ πυρί τῶν πρεσβειῶν σου, τάς τῶν παθῶν μου ἀκάνθας κατάφλεξον.

*Δόξα Πατρί.*

Ἰλύος ἁπάσης τῶν γεηρῶν, ἐκκάθαρον Πάτερ, τῇ πρεσβείᾳ σου πρός Χριστόν, ἡμῶν τάς καρδίας Θεολόγε, καί τῶν πταισμάτων ἡμῖν αἴτει ἄφεσιν.

*Καί νῦν. Θεοτοκίον.*

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, τήν ἐσκοτισμένην, τῇ ἀπάτῃ τοῦ δυσμενοῦς, λάμπρυνον ψυχήν μου Θεοτόκε, τῇ φωταυγεῖ σου πρεσβείᾳ καί χάριτι.

*Ὠδή γ'. Οὐρανίας ἁψῖδος.*

Νοῦν τόν σόν ὡς πληρώσας, τῆς τοῦ Θεοῦ χάριτος, τῆς θεολογίας ἐδείχθης μύστης θεόσοφος, δι' ἧς συνέτισον, καί καταλάμπρυνον Πάτερ, ἡμῶν τήν διάνοιαν πρός βίον ἔνθεον.

Ἡ θερμή σου πρεσβεία, ἡ πρός Χριστόν Ὅσιε, γένοιτο πηγή εὐφροσύνης, τῆς ὑπέρ ἔννοιαν, καί παθῶν ἴασις, καί ὁδηγός πρός τά ἄνω, Συμεών μακάριε, τοῖς σέ γεραίρουσι.

*Δόξα Πατρί.*

Μυστηρίων ἁγίων, μυσταγωγός πέφηνας, ὅθεν μυσταγώγησον Πάτερ, νοΐ θεόφρονι, πρός γνῶσιν κρείττονα, καί μυστικάς ἀναβάσεις θεϊκῆς ἑνώσεως τούς εὐφημοῦντάς σε.

*Καί νῦν. Θεοτοκίον.*

Ἰησοῦν τόν Σωτῆρα, καί τοῦ παντός αἴτιον, τέτοκας ἀφράστως Παρθένε, κόσμον καινίζοντα, ἐκ τῆς ἀρχαίας ἀρᾶς· ὅθεν κἀμοῦ τήν καρδίαν, μετανοίας πράξεσι, καίνισον δέομαι.

Διάσωσον, ὦ Συμεών Θεολόγε ἡγιασμένε, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τούς τῇ θερμῇ σου προστρέχοντας ἀντιλήψει.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

*Αἴτησις καί τό Κάθισμα*
*Ἦχος β'. Πρεσβεία θερμή.*

Φωτί θεϊκῷ, λαμπρύνας τήν καρδίαν σου, φωτίζεις ἡμῶν ἀπαύστως τά νοήματα, ἀκτῖσι ταῖς τῶν λόγων σου, Συμεών Θεολόγε μακάριε· διά τοῦτο βοῶμεν σοι πιστῶς σκοτασμοῦ τῶν παθῶν ἡμᾶς ἀπάλλαξον.

*Ὠδή δ'. Εἰσακήκοα Κύριε.*

Νοῦν θεόφρονα δίδου μοι, τῇ μελέτῃ Πάτερ τῶν θείων λόγων σου, ἐξ ὧν ῥέει χάρις ἄφθονος, καί καταγλυκαίνει τάς ψυχάς ἡμῶν.

Φωτισμῷ θείου Πνεύματος, ταῖς σαῖς φωτοφόροις πρεσβείαις Ὅσιε, φώτισόν μου τήν διάνοιαν Συμεών τρισμάκαρ καί συνέτισον.

*Δόξα Πατρί.*

Ὡς Χριστοῦ φίλος γνήσιος, τοῦτον ὁλοψύχως φιλεῖν με Ὅσιε, τῇ σῇ χάριτι δυνάμωσον, καί φθαρτῶν ἐκκλίνειν τήν συνάφειαν.

*Καί νῦν. Θεοτοκίον.*

Σωτηρίας ἀξίωσον, ταῖς σαῖς μητρικαῖς πρεσβείαις πρός Κύριον, Θεοτόκε Ἀειπάρθενε, τούς εἰλικρινῶς σέ μακαρίζοντας.

*Ὠδή ε΄. Φώτισον ἡμᾶς.*

Δόξης θεϊκῆς Θεολόγος νέος πέφηνας· διό ρῦσαι ἀδοξίας με παθῶν, Συμεών τοῦ Παρακλήτου, ἔμπνουν ὄργανον.

Ὄμβρησον ἡμῖν, Συμεών θεομακάριστε, τόν τῆς χάριτος ὑψόθεν δροσισμόν, τηκομένοις προσβολαῖς τοῦ πολεμήτορος.

*Δόξα Πατρί.*

Στόμα τοῦ Θεοῦ Συμεών ὤφθης πολύσοφον, διό ἅρπασον ἐκ στόματος ἐχθροῦ, οὕς ἀπάτῃ ὁ ἀλάστωρ καταπέπωκε.

*Καί νῦν. Θεοτοκίον.*

Θρόνος τοῦ Θεοῦ, Θεοτόκε ὤφθης ἔμψυχος, καί παλάτιον ὑπέρλαμπρον Ἁγνή, τοῦ τεχθέντος ἐξ αἱμάτων σου δι᾽ ἔλεος.

*Ὠδή ς΄. Τήν δέησιν.*

Ἐπλήσθη, ἡ καθαρά σου καρδία, τῶν ἐλλάμψεων Τριάδος τῆς θείας· διό κἀμοῦ τήν καρδίαν θεόφρον, δοχεῖον θεῖον ἀνάδειξον δέομαι, τῆς ἐπιπνοίας τοῦ Θεοῦ, Συμεών Θεολόγε μακάριε.

Ὁ νοῦς σου, ἔσοπτρον θεῖον ἐδείχθη, ἀπαυγάζον φῶς τό ἄυλον κόσμῳ· διό τόν νοῦν ἡμῶν κάθαρον Πάτερ, καί δεκτικόν τῇ σῇ χάριτι ἔργασαι, τῆς οὐρανίου μετοχῆς, Συμεών διά βίου λαμπρότητος.

*Δόξα Πατρί.*

Λαμπρύνας τά αἰσθητήρια Πάτερ, τῆς ψυχῆς σου ὁλικῶς ἡγιάσθης· διό ἡμῶν τῆς ψυχῆς τάς δυνάμεις, πρός τόν Χριστόν Συμεών ἀναπτέρωσον, ἵνα ζωῆς ἁγιασμοῦ, ἐναρέτου μετάσχωμεν Ἅγιε.

*Καί νῦν. Θεοτοκίον.*

Ὁ Κτίστης καί Ποιητής τῶν ἁπάντων, σαρκωθείς ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ἁγιωτέραν σε

ἔδειξε πάντων, καί οὐρανῶν πλατυτέραν Πανάχραντε· διό στενώσεως παθῶν, Θεοτόκε ἡμᾶς ἀπολύτρωσαι.

Διάσωσον, ὦ Συμεών Θεολόγε ἡγιασμένε, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τούς τῇ θερμῇ σου προστρέχοντας ἀντιλήψει.

Ἄχραντε ἡ διά λόγου...

*Αἴτησις καί τό Κοντάκιον.*
*Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς Θεολόγος Θεοῦ ἐνθεώτατος, καί πρεσβευτής ἡμῶν μέγας πρός Κύριον, ἀεί Συμεών καθικέτευε, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν, καί βίου διόρθωσιν Ὅσιε.

*Προκείμενον.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
*Στίχ.* Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον...

*Εὐαγγέλιον.* Ἐκ τοῦ κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ~~παρά~~ ὑπό τοῦ Πατρός μου· καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰ μή ὁ Πατήρ· οὐδέ τόν Πατέρα τίς ἐπιγινώσκει εἰ μή ὁ Υἱός, καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ' ὑμᾶς, καί μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καί ταπεινός τῇ καρδίᾳ· καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός, καί τό φορτίον μου ἐλαφρόν ἐστιν.

*Δόξα.* Ταῖς τοῦ σοῦ Ὁσίου...
*Καί νῦν.* Ταῖς τῆς Θεοτόκου...
*Προσόμοιον.*
*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*
*Στίχ.* Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...

Ὅλην τήν καρδίαν σου, φῶς καταλάμψαν τό θεῖον, στῦλον οὐρανόφωτον, Συμεών σε ἔδειξεν ἐν τοῖς πέρασι, πρός ζωήν κρείττονα, πάντας ὁδηγοῦντα· διά τοῦτό σου δεόμεθα· ἡμᾶς ἀπάλλαξον σκότους, πειρασμῶν τε καί θλίψεων, καί πάσης ἐπιθέσεως, νῦν τοῦ ζοφεροῦ κοσμοκράτορος, καί φωτός τά ἔργα, ἐνίσχυσον ἡμᾶς διατελεῖν, ἵνα τῆς ἄνω λαμπρότητος, μέτοχοι γενώμεθα.

Σῶσον ὁ Θεός τόν λαόν σου...

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Πέρας θεῖον πλουτήσας, Συμεών Θεολόγε ἀξιοθαύμαστε, δεσμῶν τῶν ἐν τῇ ὕλῃ, και πάσης

προσπαθείας ἐμπαθοῦς ἡμᾶς λύτρωσαι, ὡς ὁδηγός καί φωστήρ, ἡμῶν ζωήν πρός θείαν.

Ἐπηρείας ἁπάσης, τοῦ δολίου Βελίαρ Συμεών Ὅσιε, καί βλάβης καί κινδύνων, καί πάσης πρός τά χείρω, πονηρᾶς ἡμᾶς ἕξεως, τῇ σῇ θερμῇ ἀρωγῇ, ἀπάλλαξον ἐν τάχει.

*Δόξα Πατρί.*

Γεωργεῖν θεῖον φόβον, ἀπαρχήν ἐναρέτου βίου μακάριε, καί βαίνειν ἀνενδότως, τάς τρίβους τοῦ Κυρίου, Συμεών καταξίωσον, τούς σε προστάτην θερμόν πλουτοῦντας Θεολόγε.

*Καί νῦν. Θεοτοκίον.*

Ἐξ ἀχράντου γαστρός σου, σαρκωθείς ἀπορρήτως ὁ Ὑπερούσιος, ἐθέωσε τήν φύσιν, ἡμῶν τήν πεπτωκυῖαν, παραβάσει τό πρότερον, Θεογεννῆτορ Ἁγνή, βροτῶν ἡ σωτηρία.

*Ὠδή η'. Τόν Βασιλέα.*

Ῥείθροις σῶν λόγων, ὦ Συμεών Θεολόγε, ἡμῶν ἄρδευσον καί νοῦν καί τήν καρδίαν, ὡς ἄν ἀπαθείας, βλαστήσωμεν τά ἄνθη.

Ἄνωθεν ἴδε, ἡμᾶς τά τέκνα σου Πάτερ, τούς τῇ θείᾳ σου εἰκόνι παρεστῶτας, καί παράσχου πᾶσι, τάς πατρικάς σου δόσεις.

*Εὐλογοῦμεν Πατέρα, Υἱόν καί Ἅγιον Πνεῦμα, τόν Κύριον.*

Σοφίᾳ θείᾳ, ἀγλαϊζόμενος Πάτερ, τά σοφίσματα τά καθ' ἡμῶν εἰς τέλος, τοῦ δεινοῦ Βελίαρ, ἀκύρωσον καί λῦσον.

*Καί νῦν. Θεοτοκίον.*

Ἴασαι Κόρη, τήν συντριβήν τῆς ψυχῆς μου, τῇ εὐσπλάγχνῳ σου ῥοπῇ και συμπαθείᾳ, ἵνα σέ δοξάζω, Ὑπερδεδοξασμένη.

*Ὠδή θ'. Κυρίως Θεοτόκον.*

Ἡ παύση Θεολόγε, μυστικῶς παρέχειν, τῆς πατρικῆς προστασίας σου πάντοτε, τάς δαψιλεῖς χορηγίας ἡμῖν τοῖς τέκνοις σου.

Ὁ νέος Θεολόγος, Συμεών ὁ μέγας, μεγάλων πόνων καί θλίψεων λύτρωσαι, τούς ἀδιστάκτῳ καρδίᾳ σε μακαρίζοντας.

*Δόξα Πατρί.*

Ὑδάτων ἁμαρτίας, λύτρωσαί με Πάτερ, καί τῶν ναμάτων τῆς χάριτος πλήρωσον, νῦν τήν δι-

ψῶσαν ψυχήν μου Συμεών Ὅσιε.

*Καί νῦν. Θεοτοκίον.*

Ὑπῆλθεν ἐκ γαστρός σου, τήν μορφήν μου Κόρη, ὁ ἐν μορφῇ Θεοῦ Λόγος ὡς σύνθρονος, καί τῆς ζωῆς τάς εἰσόδους μοι ἀνεπέτασε.

*Τό* Ἄξιόν ἐστι *καί τά Μεγαλυνάρια.*

Χαίροις θεοδόξαστε Συμεών, νέε Θεολόγε, Ἐκκλησίας τῆς τοῦ Χριστοῦ· χαῖρε οὐρανίων, ἐπόπτα μυστηρίων, φωτός τοῦ Τρισηλίου, λύχνε πολύφωτε.

Ὅλος τῶν γηΐνων ὑπεραρθείς, τόν ἄδυτον γνόφον, ὑπεισῆλθες μετά σαρκός, Συμεών τρισμάκαρ, θεωριῶν τῶν ἄνω, καί ὅλος ἐθεώθης, Ἁγίῳ Πνεύματι.

Στόμα σου τό θεῖον οἷα πηγή, ἀνέβλυσε κόσμῳ, ῥεῖθρα θείων ὑποθηκῶν, ζωῆς αἰωνίου, θεώσεως τήν χάριν, ὦ Συμεών θεόφρον, ἡμᾶς διδάσκοντα.

Λόγος σου ὁ θεῖος μάννα ζωῆς, μέλι τό ἐκ πέτρας, δρόσος θείας ἀναψυχῆς, νέκταρ ἀμβροσίας, καί ὕδωρ ἀφθαρσίας, ὦ Θεολόγε ὤφθη, ἡμῖν ἐν Πνεύματι.

Ῥῦσαι ἀκηδίας τῆς χαλεπῆς, δεινῆς ῥαθυμίας καί γηΐνων περισπασμῶν, ἡμᾶς Θεολόγε, καί ἔγειρον τούς πάντας, πρός κτῆσιν τῶν ἀρίστων, γρηγόρσει κρείττονι.

Αἴγλην τήν Τρισήλιον καί λαμπράν, δεχόμενος ἤδη, ἐν σκηνώμασιν οὐρανῶν, δίδου πᾶσι Πάτερ, φῶς θεῖον οὐρανόθεν, καί τῆς μελλούσης δόξης ἡμᾶς ἀξίωσον.

Πᾶσαι τῶν ἀγγέλων...
*Τό τρισάγιον, τό Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἐκτενής καί Ἀπόλυσις. Πρό δέ τοῦ* Δι' εὐχῶν *ψάλλομεν τό ἑξῆς προσόμοιον:*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάτερ Θεολόγε Συμεών, σκεῦος οὐρανίων χαρίτων, θεολογίας πηγή τοῦ Ἁγίου Πνεύματος, ὄργανον εὔηχον, πάσης θλίψεως λύτρωσαι, καί πάσης ἀνάγκης, ψυχῆς τε καί σώματος, ταῖς ἱκεσίαις σου, πάντας τούς πιστῶς σε τιμῶντας, δίδου δέ ἡμῖν οὐρανόθεν, φῶς κατά Δαυίδ ταῖς τρίβοις πάντοτε.
Δέσποινα πρόσδεξαι...
Τήν πᾶσαν ἐλπίδα μου...
Τῇ πρεσβείᾳ Κύριε...

*Δίστιχον.*

*Λάμψον φωτισμόν Συμεών Θεολόγε*
*Γερασίμῳ σπεύδοντι σαῖς φωταυγείαις.*